ἀπέπλευσεν εἰς τὴν αἴγυπτον σὺν τοῖς ἀετοῖς καὶ τοῖς παισί. καὶ μετ' ἑτέρας φαντασίας τὲ καὶ παρασκευῆς πολλῆς καὶ δόξης ἀνεκάσυ πρὸς κατάπληξιν τῶν αἰγυπτίων. ἰδόντες δὲ οἱ αἰγύπτιοι τὸν αἴσωπον μυσαρὸν ὄντα τῇ θέα ἔδοξαν παίγνιον εἶναι. μὴ εἰδότες ὅτι ἐν σαπροῖς σκεύεσι βάλσαμον πολυτελὲς, ἢ οἶνος κάλλιστος ἐγκαταλλάξεται. ἀκούσας δὲ νεκτεναβὼ τὸν αἴσωπον παραγεγονέναι, μετακαλεσάμενος τοὺς φίλους αὐτοῦ εἶπεν, ἠνεδρεύθην μεμαθηκὼς αἴσωπον τεθνάναι. τῇ δὲ ἐπαύριον ἐκέλευσε ἅπαντας τοὺς ἄρχοντας αὐτοῦ λευκὰς στολὰς περιβαλέσθαι, αὐτὸς δὲ περιεβάλετο στολὴν ἱερὰν καὶ κίδαριν, καὶ διάδημα, κατὰ τῆς ~~[struck]~~ κεφαλῆς αὐτοῦ ἔχον κέρατα διάλιθα. προκαθίσας δὲ